δι' ἑαυτῆς νοεῖσθαι δυνάμενα, τοῦτ' ἄνευ τοῦ ταύτην περιλαμβάνειν οὐ δύναται γίνεσθαι, ὡς καὶ ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν.

## LVII. — Ὅτι ὁστισοῦν κτιστὸς νοῦς δύναται τῆς θείας θεωρίας μέτοχος εἶναι.

Ἐπεὶ γὰρ ὁ κτιστὸς νοῦς ὑπερφυεῖ τινι φωτὶ πρὸς τὴν τῆς θείας οὐσίας θεωρίαν ἀνάγεται, οὐδεὶς κτιστὸς νοῦς οὕτω κατὰ τὴν ἑαυτοῦ φύσιν ἐστὶ ταπεινὸς ὥστε πρὸς ταύτην τὴν θεωρίαν ἀδυνατεῖν μετεωρισθῆναι· δέδεικται γὰρ τὸ φῶς ἐκεῖνο μὴ δύνασθαι κτίσμα τι φυσικὸν εἶναι, ἀλλὰ πᾶσαν ὑπερβαίνειν κτιστὴν φύσιν τῇ δυνάμει· ὃ δέ ἐστιν ὑπερφυὲς τῇ δυνάμει ὑπὸ τῆς τῆς φύσεως διαφορᾶς οὐ κωλύεται· ἄπειρος γάρ ἐστιν ἡ θεία δύναμις· ὅθεν τῇ διὰ θαύματος τοῦ ἀσθενοῦς θεραπείᾳ οὐδὲν διαφέρει, εἴτε ἐπ' ὀλίγον, εἴτε ἐπὶ πλέον ἐνόσησεν. Αἱ διάφοροι τοίνυν τῆς νοερᾶς φύσεως τάξεις οὐ κωλύουσιν ὥστε τὸ ταύτης τῆς τάξεως ἔσχατον μὴ δύνασθαι τῷ εἰρημένῳ φωτὶ πρὸς τὴν θεωρίαν ἀναχθῆναι ἐκείνην.

Ἔτι, τὴν φυσικὴν ἔφεσιν μάτην εἶναι ἀδύνατον· πᾶς δὲ νοῦς ἐφίεται τοῦ τὴν θείαν οὐσίαν θεωρεῖν· καὶ πᾶς ἄρα δύναται πρὸς τοῦτ' ἀφικέσθαι, τῇ ταπεινότητι τῆς φύσεως ἥκιστα κωλυόμενος.

Διὸ ἐν τῷ κατὰ Ματθαῖον λέγεται περὶ τῶν ἀνθρώπων, ὅτι „ἔσονται
f. 87v ὥσπερ ἄγγελοι ἐν οὐρανῷ“· | καὶ ἐν τῇ Ἀποκαλύψει ἡ αὐτὴ παραδίδοται εἶναι τράπεζα ἀγγέλου καὶ ἀνθρώπου.

## LVIII. — Ὅτι τελειότερον ἄλλος ἄλλου θεωρεῖν δύναται.

Ἐπεὶ δ' ὁ τῆς ἐνεργείας τρόπος ἕπεται τῷ εἴδει ὅ ἐστι τῆς ἐνεργείας ἀρχή, τῆς δὲ θεωρίας τῆς θείας οὐσίας ἀρχή τις τῷ κτιστῷ νῷ τὸ ῥηθὲν φῶς, ἀνάγκη κατὰ τὸν τοῦ φωτὸς τρόπον καὶ τὸν τῆς θείας θεωρίας τρόπον ὑπάρχειν· δυνατὸν δὲ τῆς τοῦ φωτὸς μετοχῆς διαφόρους εἶναι βαθμούς, ὥσθ' ἕτερον ἑτέρου φωτίζεσθαι τελεώτερον. Δυνατὸν ἄρα ἐστὶ τῶν τὸν Θεὸν ὁρώντων ἕτερον ἑτέρου τελειότερον τὴν θείαν οὐσίαν ὁρᾶν.

Ἔτι, ἐν παντὶ γένει, ἐν ᾧ ἐστί τι ἄκρον, τὸ μεῖζον καὶ ἔλαττον εὑρίσκεται τοῖς λοιποῖς κατὰ τὴν μείζω πρὸς αὐτὸ ἐγγύτητα ἢ διάστασιν, ὡς ἔχει τὰ θερμὰ διαφόρως διὰ τὸ διαφόρως ἔχειν πρὸς τὸ ἄκρως θερμόν, τὸ πῦρ δηλονότι. Ὁ δὲ Θεὸς τελειότατα τὴν ἑαυτοῦ οὐσίαν ὁρᾷ ὡς περιλαμβάνων αὐτήν. Τῶν ὁρώντων ἄρα αὐτόν, ὧν οὐδεὶς περιλαμβάνει τὴν οὐσίαν αὐτοῦ, ἧττον καὶ μᾶλλον ἄλλος ἄλλου ὁρᾷ καθὸ μᾶλλον ἢ ἔλαττον πλησιάζει. Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Ἰωάννῃ εἰρημένον, ὅτι „ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν“. Εἰ δὲ καὶ κατὰ τὸν τῆς θεωρίας τρόπον ἡ διαφορὰ τῶν βαθμῶν ἐστιν, ἀλλ' ἐκ τοῦ θεωρουμένου

---

19 Matth. 22, 30 20 cf. Apoc. 10 36 Ioh. 14, 2

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἡ αὐτή ἐστι δόξα τοῖς μακαρίοις· πᾶσα γὰρ μακαριότης ἐκ τοῦ τὴν θείαν οὐσίαν ὁρᾶν ἐστιν. Ταὐτὸ τοίνυν καὶ ἓν τὸ πάντας μακαρίους ποιοῦν, οὐ μὴν πάντες ἀπ' ἐκείνου ὁμοίως λαμβάνουσι τὴν μακαριότητα· ὅθεν οὐδὲ προσίσταται τὸ ἐν τῷ Ματθαίῳ εἰρημένον περὶ τῶν ἐργασαμένων ἐν τῷ ἀμπελῶνι, οἷς καὶ μὴ ὁμοίως καμοῦσιν ὁ αὐτὸς μισθὸς ἀποδέδοται, τὸ δηνάριον· ταὐτὸ γάρ ἐστι τὸ πᾶσιν ἀντὶ μισθοῦ διδόμενον, τὸ ὁρᾶν καὶ ἀπολαύειν ἐκείνου, ὅπερ ἐστὶν ὁ Θεός.

Ὅπου καὶ τοῦτο δεῖ θεωρεῖν, ὅτι τῶν μὲν σωματικῶν κινήσεων ταὐτόν ἐστιν ἀριθμῷ τὸ πρῶτον ὑποκείμενον, τὰ δὲ τέλη διάφορα· τῶν δὲ ἀσωμάτων κινήσεων, ἤτοι τῶν νοερῶν καταλήψεων καὶ τῶν θελήσεων, διάφορα μέν εἰσιν ὑποκείμενα πρῶτα, ταὐτὸν δὲ τῷ ἀριθμῷ τὸ τέλος.

## LIX. — Πῶς οἱ τὴν θείαν οὐσίαν ὁρῶντες πάντα ὁρῶσιν.

Ἠρεμεῖ γὰρ ἡ τῆς νοερᾶς οὐσίας ἔφεσις ἐν τῷ ἐσχάτῳ τέλει, ὅ ἐστι τὸ τὴν θείαν οὐσίαν ὁρᾶν, ὡς εἴρηται, ἅτε δι' αὐτοῦ καὶ πάντα τὰ τῶν πραγμάτων γένη καὶ εἴδη καὶ δυνάμεις καὶ τὴν ὅλην τοῦ παντὸς τάξιν ὁρῶσα, ὧν φύσει ἐπιθυμεῖ τῆς γνώσεως· | οὕτω γὰρ καὶ μόνως ἀποπληροῦται τὸ κατὰ φύσιν τοῦ νοῦ δεκτικόν, μᾶλλον δὲ ἡ θεία θεωρία τὸ κατὰ φύσιν αὐτοῦ τοῦ νοῦ δεκτικὸν ὑπερβαίνει, ὃ φύσει πρὸς τὰ προειρημένα πάντα ἐκτείνεται. Ἕκαστος τοίνυν τῶν τὸν Θεὸν ὁρώντων ταῦτα πάντα ἐν τῇ θείᾳ οὐσίᾳ γνώσεται. Ἐντεῦθέν ἐστιν ὅπερ ὁ Κύριος τῷ Μωϋσεῖ ἀπεκρίνατο τὴν τῆς θείας οὐσίας θεωρίαν ζητοῦντι· „Ἐγὼ δείξω σοι πᾶν ἀγαθόν". Καὶ ὁ Γρηγόριος φησί· „Τί ἐστιν ὃ μὴ εἴσονται, οἱ τὸν πάντα εἰδότα γινώσκοντες;" f. 88

Ἀλλ' εἰ τὰ προειρημένα ἀκριβῶς θεωροῖτο, τινὰ μὲν τρόπον πάντα ὁρῶσιν οἱ τὴν θείαν οὐσίαν ὁρῶντες, τινὰ δὲ οὔ. Πάντα γὰρ τὰ πρὸς τὴν τοῦ παντὸς τελειότητα συντελοῦντα ὁρῶσι προδήλως, οἷον τὰς τῶν εἰδῶν φύσεις καὶ δυνάμεις καὶ ἰδιότητας καὶ τὰ ἴδια συμβεβηκότα ἐν τῷ τὴν θείαν οὐσίαν ὁρᾶν, ὡς συντελοῦν τοῦτο πρὸς τὴν τῆς νοερᾶς οὐσίας τελειότητα· διὰ δὲ τῆς τῶν φυσικῶν εἰδῶν γνώσεως καὶ τὰ ὑπὸ τοῖς εἴδεσιν ἄτομα γινώσκονται αὐτοῖς, ὡς εἴρηται ἐν τοῖς περὶ τῆς γνώσεως τοῦ Θεοῦ καὶ τῶν ἀγγέλων δεδειγμένοις. Οὐδεὶς δὲ κτιστὸς νοῦς πάντα ἐν τῇ τοῦ Θεοῦ οὐσίᾳ ὁρᾷ ὅσαπερ ὁ Θεὸς τῷ τὴν ἑαυτοῦ οὐσίαν ὁρᾶν γινώσκει. Πρῶτον μὲν γὰρ οὐχ ὁρᾷ ἐκεῖνα ἃ δύναται μὲν ποιεῖν ὁ Θεός, οὔτε δὲ ποιεῖ, οὔτε ποιήσει· πῶς γὰρ γνώσεται ταῦτα, μὴ περιλαμβάνων τὴν θείαν δύναμιν; Περὶ τούτων λέγεται ἐν τῷ Ἰώβ· „Ἴσως τὰ ἴχνη τοῦ Θεοῦ καταλήψῃ, καὶ τὸν παντοκράτορα τελείως εὑρήσεις; Ὑψηλότερός ἐστι τοῦ οὐρανοῦ, τοῦ ᾅδου βαθύτερος, μακρότερον τῆς γῆς τὸ μέτρον αὐτοῦ καὶ

4 cf. Matth. 20 22 Exod. 33, 19 36 Iob, 11, 7-9

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς θαλάσσης πλατύτερον", οὐχ ὡς διαστήμασι ποσότητος μεγάλου ὄντος τοῦ Θεοῦ, ἀλλ' ὡς τῆς θείας δυνάμεως οὐδενὶ τῶν μεγάλων λεγομένων ὁριζομένης, ἀλλὰ καὶ μείζω τούτων δυναμένου ποιεῖν. Δεύτερον, οὐδὲ τοὺς λόγους τῶν γεγονότων πάντας δύναται γινώσκειν, ἕως οὐδὲ τὴν θείαν ἀγαθότητα δύναται περιλαμβάνειν· παντὸς γὰρ γενομένου πράγματος ὁ λόγος ἐκ τοῦ τέλους λαμβάνεται, ὅπερ ὁ ποιῶν σκοπεῖ· τῶν δὲ τοῦ Θεοῦ ἔργων ἡ θεία ἀγαθότης τέλος ἐστίν, καὶ τῆς αὐτῶν τάξεως αἰτία ἡ θεία σοφία· τὴν δὲ θείαν ἀγαθότητα καὶ σοφίαν οὐδεὶς κτιστὸς νοῦς περιλαβεῖν δύναται. Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Ἐκκλησιαστῇ· „Καί γε κατενόησα, ὅτι f. 88v πασῶν τῶν ἐνεργειῶν τοῦ Θεοῦ | οὐ δύναται λόγον εὑρεῖν ἄνθρωπος". Τρίτον, οὐδὲ τὰ μόνης τῆς τοῦ Θεοῦ βουλήσεως ἠρτημένα, ὥσπερ τὸν προορισμόν, καὶ τὴν ἐκλογήν, καὶ τὸ δικαίωμα, καὶ τὰ τοιαῦτα, ἃ πρὸς τὸν τῆς κτίσεως ἁγιασμὸν συντελεῖ. Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ πρώτῃ πρὸς Κορινθίους λεγόμενον· „Τὰ τοῦ ἀνθρώπου οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ".

## LX. — Ὅτι οἱ τὸν Θεὸν ὁρῶντες, ὁμοῦ πάντα ὁρῶσιν.

Ἐπεὶ γὰρ δέδεικται ὡς ὁ κτιστὸς νοῦς τὴν θείαν οὐσίαν ὁρῶν, ἐν αὐτῇ πάντα τὰ τῶν πραγμάτων εἴδη νοεῖ, τὰ δὲ καθ' ἓν εἶδος νοούμενα ἀνάγκη πάντα ὁμοῦ καὶ μιᾷ ὁράσει ὁρᾶσθαι· ἡ γὰρ θεωρία οἰκείως ἔχει τῇ τῆς θεωρίας ἀρχῇ· ἀνάγκη τὸν τὴν θείαν οὐσίαν ὁρῶντα νοῦν οὐ μεταβατικῶς ἀλλ' ὁμοῦ πάντα θεωρεῖν.

Ἔτι, τέλος τοῦ νοῦ ἡ θεωρία τῆς θείας οὐσίας· πᾶν δὲ ἐν τῷ ἰδίῳ τέλει ἠρεμεῖ· τὸ δὲ μεταβαίνειν ἀπ' ἄλλου εἰς ἄλλο νοητόν, ἐναντίον τῷ ἠρεμεῖν. Ἅπαντα τοίνυν ἃ γινώσκει διὰ ταύτης τῆς θεωρίας ὁ κτιστὸς νοῦς, ὁμοῦ θεωρεῖ ἐνεργείᾳ.

## LXI. — Ὅτι διὰ τῆς θείας θεωρίας μέτοχός τις γίνεται τῆς αἰωνίου ζωῆς.

Ἐπεὶ γὰρ οὐδεμία μετάβασις ἐν τῇ προειρημένῃ θεωρίᾳ ἐστίν, ἀλλ' ὁμοῦ πάντα δι' ἐκείνης ὁρῶνται καὶ μιᾷ ἐπιβολῇ, ἡ θεωρία ἐκείνη ἐν ἀϊδιότητός τινι μετοχῇ τελειοῦται· ἡ δὲ θεωρία ἐκείνη ζωή τίς ἐστιν· ἡ δὲ ἐνέργεια τοῦ νοῦ ζωή. Δι' ἐκείνης ἄρα τῆς θεωρίας ὁ νοῦς μέτοχος γίνεται τῆς αἰωνίου ζωῆς.

Ἔτι, εἰ αἱ ἐνέργειαι διὰ τῶν ἀντικειμένων εἰδοποιοῦνται, τῆς δὲ θεωρίας ἐκείνης ἀντικείμενον ἡ θεία οὐσία καθ' αὑτήν, ἀλλ' οὐ κατά τινα ταύτης κτιστὴν ὁμοιότητα, τὸ δὲ εἶναι τῆς θείας οὐσίας, ἐν ἀϊδιότητι,

9 Eccle. 8, 17    14 I Cor. 2, 11

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ αὐτὴ ἡ ἀϊδιότης, καὶ ἡ προειρημένη ἄρα θεωρία ἐν ἀϊδιότητός ἐστι μετοχῇ.

Ἐντεῦθέν ἐστιν ὅ φησι Κύριος ἐν τῷ κατὰ Ἰωάννην· „Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι σέ, τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν".

## LXII. — Ὅτι οἱ τὸν Θεὸν ὁρῶντες, ἀεὶ αὐτὸν ὄψονται.

Ἐντεῦθεν φανερόν, ὅτι οἱ τῆς ἐσχάτης εὐδαιμονίας τυχόντες ἐκ τῆς τοῦ Θεοῦ θεωρίας οὐδέποτε ἐκείνης ἀποπεσοῦνται· τὸ γὰρ ποτὲ μὲν ὄν, ποτὲ δὲ μὴ ὄν, χρόνῳ καταμετρεῖται· ἡ δὲ τὰς νοερὰς οὐσίας μακαρίας ποιοῦσα θεωρία οὐκ ἔστιν ἐν χρόνῳ, ἀλλ' ἐν ἀϊδιότητι. Ἀδύνατον ἄρα ἐστὶ | τὸν ἅπαξ ἐκείνης μέτοχον γεγονότα αὖθις ἀποβαλεῖν ποτέ. f. 89

Ἔτι, οὐδὲν ἀναχωρεῖ ἀπὸ τοῦ οἰκείου τέλους εἰ μὴ βίᾳ, ὡς ἐπὶ τῶν φερομένων σωμάτων δῆλον· πᾶσα δὲ οὐσία νοερὰ ἐφέσει φυσικῇ πρὸς τὴν θείαν θεωρίαν τείνει. Οὐκοῦν οὐκ ἂν ἀναχωρήσειεν εἰ μὴ βίᾳ· οὐδὲν δὲ βίᾳ τινὸς ἀναιρεῖται, εἰ μὴ τοῦ ἀναιροῦντος ἡ δύναμις μείζων ᾖ τῆς τοῦ αἰτίου δυνάμεως· τῆς δὲ θείας θεωρίας αἴτιος ὁ Θεός, οὗ τὴν δύναμιν οὐδεμία ὑπερβαίνει. Ἀδύνατον ἄρα βίᾳ ἀναιρεῖσθαί ποτε ἐκείνην τὴν θεωρίαν. Ἀεὶ τοίνυν διαμενεῖ.

Ἔτι, εἴ τις ὁρῶν παύσαιτο ὅπερ ἑώρα πρότερον, ἢ διὰ τὸ ἀπολείπειν αὐτὸν τὴν τοῦ ὁρᾶν δύναμιν τοῦτ' ἔσται, ὥσπερ ὅτε τυφλοῦταί τις ἢ θνήσκει, ἢ ἄλλως κωλύεται, ἢ διὰ τὸ μηκέτι ὁρᾶν βούλεσθαι, ὥσπερ ὁπόταν τις ἀποστρέφῃ τὴν ὄψιν τοῦ πράγματος ὃ ἡ ὄψις ἑώρα· καὶ τοῦτο πάλιν, ἢ διὰ τὸ νομίζειν συνεῖναί τι ἐκείνῳ κακόν, ἢ διὰ τὸ κάμνειν ἐκ τοῦ ἀτελοῦς εἰς αὐτὸ πολλάκις ἰδεῖν, καὶ ἰλιγγιᾶν· ἢ παύεται τελευταῖον διὰ τὸ τὸ ὁρατὸν ἀναιρεῖσθαι· καὶ τοῦτο ἀληθὲς ὂν περὶ τῆς κατ' αἴσθησιν ὄψεως, καὶ περὶ τῆς νοερᾶς ἀληθές ἐστιν ὁμοίως. Ἀλλὰ τὴν τὸν Θεὸν ὁρῶσαν οὐσίαν οὐκ ἀπολείπει ἡ δύναμις τοῦ τὸν Θεὸν ὁρᾶν· οὔτε γὰρ φθείρεται αἰωνία οὖσα, οὔτε διὰ τὴν ἔνδειαν τοῦ φωτὸς ἀπολείπει, ἀφθάρτως λαμβανομένου κατὰ τὴν ἕξιν τοῦ τε διδόντος τοῦ τε δεχομένου· ἀλλὰ καὶ ἡ θέλησις τοῦ ὁρᾶν ἀεὶ πάρεστιν· οὐ γὰρ δύναται ἡ τὸν Θεὸν ὁρῶσα οὐσία μὴ θέλειν εἶναι μακαρία· τό τε ἀντικείμενον, ὅπερ ἐστὶν ὁ Θεός, τὸν αὐτὸν ἔχει τρόπον ἀεί, οὐδὲ πόρρω ἡμῶν νοῦς γίνεται, εἰ μὴ καθόσον ἡμεῖς αὐτοῦ μακρυνόμεθα· καὶ ἐν τῇ ἀπολαύσει τῆς θεωρίας ἐκείνης κακὸν εἶναι οὐ δύναται, οὔτε νομισθῆναι εἶναι κακὸν ἐν αὐτῇ, ἢ ἄλλο τι βέλτιον· ἡ γὰρ τῆς ἄκρας ἀληθείας θεωρία πᾶσαν ἐλαύνει ψευδῆ δόξαν. Ἀλλ' οὐδὲ τὸ κάμνειν ἔχει χώραν ἐκεῖ· ἡ γὰρ θεία θεωρία οὐ φθείρει, ἀλλὰ μᾶλλον τελειοῖ τὸν νοῦν· οὔτε ἄνευ μεγίστου θαύματος ποτὲ ἡ θεωρία

---

**3 Ioh. 17, 3**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐστὶν ἐκείνη, ὥστε ἰλιγγιᾶν ποτὲ τὴν θεωροῦσαν οὐσίαν, καὶ μάλιστα θαύματι ὁρᾶται διὰ τὸ μὴ περιλαμβάνεσθαι, ὡς εἴρηται πρότερον.

f. 89v Ἐντεῦθέν ἐστι τὸ ἐν Ψαλμοῖς λεγόμενον· „Μακάριοι | οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου· εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε“· καὶ ἀλλαχοῦ· „Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ“. Ἀποσκορακίζεται καὶ ἡ τῶν Πλατωνικῶν αἵρεσις, οἳ ἐτίθουν τὰς κεχωρισμένας ψυχάς, μετὰ τὸ τυχεῖν τῆς μακαριότητος, βούλεσθαι εἰς τὰ σώματα ὑποστρέφειν, καὶ παυσαμένης τῆς κατὰ τὴν ζωὴν ἐκείνην εὐδαιμονίας, πάλιν ταῖς ταλαιπωρίαις ἐγκαλινδεῖσθαι τῆς παρούσης ζωῆς· ἔτι δὲ καὶ ἡ Ὠριγένους, ὃς ἔλεγε τοὺς ἀγγέλους καὶ τὰς ψυχὰς μετὰ τὴν μακαριότητα εἰς κακοδαιμονίαν πάλιν δύνασθαι καταντᾶν.

## LXIII. — Ὅτι ἐν τῇ ἐσχάτῃ μακαριότητι πᾶσα ἔφεσις τοῦ ἀνθρώπου πληροῦται.

Οὕτω γὰρ ἐν Ψαλμοῖς λέγεται· „Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου“. Ἐκεῖ γὰρ πᾶσα τῶν ἀνθρώπων σπουδὴ τὴν συγκεφαλαίωσιν λαμβάνει, ὅπου πᾶσα αὐτάρκεια τῶν ἀγαθῶν ἐστιν· αὐτίκα γὰρ ἡ περὶ τὴν γνῶσιν τῆς ἀληθείας ἐπιθυμία τοῦ ἀνθρώπου συντελεσθήσεται πρώτη, ἧς ἐνταῦθα τὸ μέρος καρποῦται διὰ τῆς περὶ τὴν θεωρητικὴν ζωὴν σπουδῆς· πάντα γὰρ αὐτῷ προκείσονται ἅπερ εἰδέναι φύσει ἐπιθυμεῖ ἐν τῇ θεωρίᾳ τῆς πρώτης ἀληθείας. Ἔπειτα, ἡ περὶ τὸ κατὰ λόγον ζῆν ἐπιθυμία καὶ τὰ ἄλλα ἰθύνειν πρὸς τὴν τοιαύτην ζωήν, οὗ τυγχάνουσιν οἱ ἄνθρωποι διὰ τῆς ἐν τῇ πολιτικῇ ζωῇ ἐνεργείας τε καὶ σπουδῆς, καὶ αὕτη συντελεσθήσεται· ἔσται γὰρ ἐν τῷ ἐσχάτῳ τοῦ δραστηρίου τῷ θείῳ φωτὶ περιλαμπομένη, ἵνα μὴ τῆς εὐθείας ἀποπλανᾶσθαι δύνηται. Ἐπὶ τούτοις, ἡ τῆς τιμῆς τοῦ ὕψους ἐπιθυμία· ἀρθήσονται γὰρ πρὸς τὸ ἔσχατον τῆς τιμῆς ὕψος διὰ τῆς θείας θεωρίας, καθόσον τῷ Θεῷ τρόπον τινὰ ἑνοῦνται· καὶ διὰ τοῦτο ὡς ὁ Θεὸς βασιλεύς ἐστι τῶν αἰώνων, οὕτω καὶ οἱ μακάριοι καὶ τῷ Θεῷ ἡνωμένοι, βασιλεῖς λέγονται, ὡς ἐν τῇ Ἀποκαλύψει· „Βασιλεύσουσι μετὰ τοῦ Χριστοῦ“, καὶ τὰ λοιπά. Ἔπειτα ἡ ἐπιθυμία τῆς τῆς φήμης σεμνότητος· ἔσονται γὰρ διαπεφημισμένοι οὐ τῇ τῶν ἀνθρώπων δόξῃ, οὓς καὶ ἀπατᾶν καὶ ἀπατᾶσθαι ἐνδέχεται, ἀλλὰ τῇ ἀληθεστάτῃ γνώσει τοῦ Θεοῦ καὶ τῶν μακαρίων. Καὶ διὰ τοῦτο ἡ μακαριότης ἐν τῇ Γραφῇ συνεχῶς ὀνομάζεται δόξα, ὡς ἐν τοῖς Ψαλμοῖς, λέγεται· „Καυχήσονται ὅσιοι ἐν δόξῃ“. Ἔπειτα, ἡ ἐπιθυμία τοῦ πλούτου· αὐτάρκειαν γὰρ ἕξουσι πάντων τῶν ἀγαθῶν οἱ μακάριοι, τοῦ πᾶσαν τελειότητα πάντων f. 90 ἀγαθῶν περιέχοντος | ἀπολαύοντες· ὅθεν ἐν τῷ ἑβδόμῳ τῆς Σοφίας λέγε-

3 Ps. 83, 5  5 Ps. 124, 1  15 Ps. 102, 5  29 Apoc. 20, 6

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ται· „Ἦλθον ἐμοὶ μετ' αὐτῆς πάντα ὁμοίως τὰ ἀγαθά“· καὶ ἐν τοῖς Ψαλμοῖς· „Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ“.

Αὗται μὲν δὴ πᾶσαι αἱ ἐπιθυμίαι ἑνὸς γένους εἰσὶ πλὴν τῆς προτέρας, ἥ ἐστι περὶ τὴν γνῶσιν τῆς νοητῆς ἀληθείας· πᾶσαι γὰρ πρὸς τὴν πολιτικὴν ἀνήκουσι τοῦ ἀνθρώπου ζωήν. Ἐπεὶ δέ ἐστι καὶ τρίτη τοῦ ἀνθρώπου ἐπιθυμία, κοινὴ καὶ τοῖς ἄλλοις ζῴοις, τὸ τῶν ἡδονῶν ἀπολαύειν, ἧς διὰ τὸ ἀρρύθμιστον οἱ ἄνθρωποι ἀκρατεῖς καὶ ἀκόλαστοι γίνονται, καὶ αὕτη πλησθήσεται· τελειοτάτης γὰρ ἀπολαύσονται ἡδονῆς τῆς κατὰ νοῦν, καὶ καθαρωτάτης, καὶ ἀμιγοῦς παντὸς λυπηροῦ καὶ φροντίδων, καὶ ὑψηλοτάτης ὅσῳ τὸ ἀγαθόν, ᾧ ἥδονται, μέγιστον παντὸς ἀγαθοῦ· περὶ ἧς ἡδονῆς ἐν τοῖς Ψαλμοῖς λέγεται· „Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς“.

Ἀλλὰ μὴν κἀκείνη ἡ φυσικὴ πλησθήσεται ἔφεσις, δι' ἧς ἐπιθυμοῦμεν τοῦ συντηρεῖν ἑαυτούς, ἧς πλεονεκτούσης, δειλοὶ καὶ ἀφερέπονοι γίνονται· πλησθήσεται δέ, γενομένων πάσης βλάβης ἀνωτέρων ἐν τῇ αἰωνίῳ ζωῇ, κατὰ τὸ τοῦ Ἡσαΐου· „Οὐ πεινήσουσιν οὐδὲ διψήσουσιν ἔτι“.

Δῆλον οὖν οὕτως, ὅτι διὰ τῆς θείας θεωρίας αἱ νοεραὶ οὐσίαι τῆς ἀληθοῦς μακαριότητος τεύξονται, ἐν ᾗ πᾶσα αὐτῶν ἔφεσις ἠρεμήσει παντάπασιν.

## LXIV. — Ὅτι ὁ Θεὸς τῇ ἑαυτοῦ προνοίᾳ τὰ πράγματα διοικεῖ.

Ἐν γὰρ τοῖς πρός τι τέλος τεταγμένοις πάντα τῇ διοικήσει ἐκείνου ὑπόκεινται πρὸς ὃν πρώτως ἀνήκει τὸ τέλος ἐκεῖνο, ὥσπερ τὰ τοῦ στρατοῦ μέρη καὶ ἔργα πρὸς τὸ τοῦ ἡγεμόνος ἀγαθὸν τέτακται ὡς εἰς ἔσχατον τέλος, ὅπερ ἐστὶν ἡ νίκη, καὶ διὰ τοῦτο τῷ ἡγεμόνι προσήκει ὅλον τὸ στράτευμα διοικεῖν. Ὁμοίως καὶ ἡ περὶ τὸ τέλος τέχνη ἐπιτάττει καὶ νομοθετεῖ τῇ τέχνῃ τῶν πρὸς τὸ τέλος, ὡς ἡ πολιτικὴ τῇ στρατιωτικῇ, καὶ αὕτη τῇ ἱππικῇ, καὶ ἡ κυβερνητικὴ τῇ ναυπηγικῇ. Πάντα δὲ πρὸς τὴν θείαν ἀγαθότητα τάττονται ὡς εἰς τέλος. Καὶ ἀνάγκη τὸν Θεόν, ᾧ ἡ ἀγαθότης πρώτως ἀνήκει ὡς οὐσιωδῶς ἑνοῦσα καὶ νοουμένη καὶ ἐρωμένη, τοῖς δὲ ἄλλοις κατὰ μετοχήν, πάντων εἶναι κυβερνήτην.

Ἔτι, τὸ κατὰ νοῦν τι κινεῖν πρὸς τὸ τέλος, τοῦτ' ἔστι τὸ ἄρχειν καὶ διοικεῖν· ἀλλ' ὁ Θεὸς πάντα κινεῖ πρὸς τὰ ἑαυτῶν τέλη, οὐ φυσικῇ ἀνάγκῃ, ἀλλὰ βουλήσει καὶ νῷ.

Ἔτι, τὰ κατὰ φύσιν διακεκριμένα εἰς μίαν σύνταξιν οὐ συνάγονται εἰ μὴ ὑφ' ἑνὸς τάττοντος· τὰ δὲ τοῦ παντὸς μέρη τοιαῦτα, ὥστε καὶ εἷς ἐστιν αὐτῶν | τῆς τάξεως αἴτιος· οὐκοῦν καὶ διοικητής· τὸ γὰρ διοικεῖν f. 90ᵛ

1 Sap. 7, 11  2 Ps. 111, 3  11 Ps. 35, 9  16 Is. 49, 10

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τινα οὐδέν ἐστιν ἕτερον ἢ τὸ τάξιν τούτοις ἐπιτιθέναι· ἡ δὲ θεία σοφία οὐ μόνον τάττει τὰ ὄντα κατὰ τὴν τῶν φύσεων καθόλου διάκρισιν καὶ τῶν βαθμῶν αὐτῶν, ἀλλὰ καὶ τὰς ἐνεργείας ἑκάστου, δι' ὧν ἕκαστον μᾶλλον τῷ ἐσχάτῳ προσαχθήσεται τέλει· τοῦτο δέ ἐστι τὸ διοικεῖν. Ὁ Θεὸς ἄρα τῇ προνοίᾳ τῆς ἑαυτοῦ σοφίας κυβέρνησιν καὶ διοίκησιν τοῖς πράγμασι χορηγεῖ, δι' ἧς αὐτὰ πρὸς τὸ ἔσχατον κατευθύνει τέλος, ὅπερ ἐστὶν αὐτός, ὁ καὶ ταῦτα πεποιηκώς· αὐτῷ γὰρ προσήκει τῷ ποιητῇ πρὸς τὸ τέλος χρῆσθαι τοῖς ἔργοις, οὗ χάριν πεποίηκεν. Ἔστιν ἄρα πάντων τῶν ὄντων τῇ ἑαυτοῦ προνοίᾳ διοικητής, ὡς ἐν τοῖς Ψαλμοῖς λέγεται· „Βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός“, βασιλεὺς δέ, τῷ οἰκείῳ προστάγματι ἄρχειν τῶν ὑποτεταγμένων καὶ κυβερνᾶν.

Ὅθεν καὶ τὸν τῶν πραγμάτων δρόμον ἡ Γραφὴ τῷ θείῳ προστάγματι ἐπιγράφεται, ὡς ἐν τῷ Ἰώβ· „Ὁ προστάσσων τῷ ἡλίῳ, καὶ οὐκ ἀνατέλλει, καὶ τὰ ἄστρα κλείων ὡς ἐν σφραγίδι“· καὶ ἐν Ψαλμοῖς· „Πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται“. Διὰ τούτων καὶ ἡ τῶν ἀρχαίων φυσικῶν ἀποσκορακίζεται αἵρεσις, λεγόντων πάντα ἀπὸ τύχης συμβαίνειν, καὶ οὐκ ἔκ τινος προνοίας καὶ τάξεως.

## LXV. — Ὅτι ὁ Θεὸς ἐν τῷ εἶναι τὰ πράγματα συντηρεῖ.

Εἰς γὰρ τὸ ἔσχατον τέλος, ὅπερ ἐστὶν ἡ θεία ἀγαθότης — ταύτην γὰρ ὁ Θεὸς σκοπεῖ ἐν τῷ τὰ πράγματα διοικεῖν — τάττονται τὰ πράγματα οὐ διὰ τοῦ ἐνεργεῖν μόνον, ἀλλὰ προὔργου διὰ τοῦ εἶναι· καθόσον γάρ εἰσι, τὴν τῆς θείας ἀγαθότητος ὁμοιότητα φέρουσι.

Ἔτι, ὡς ἡ γένεσις παύεται, τῆς τοῦ γεννῶντος ἐνεργείας παυσαμένης, οὕτω καὶ τὰ τῶν πραγμάτων εἴδη ἐπαύσατο ἄν, τῆς θείας ἐνεργείας ἀφισταμένης, ὥστε τῇ αὐτοῦ ἐνεργείᾳ ἐν τῷ εἶναι αὐτὰ συντηρεῖ.

Ἔτι, τὸ μὲν τῆς τέχνης ἔργον προϋποτίθησι τὸ τῆς φύσεως ἔργον· αὐτὸ δὲ αὖ προϋποτίθησι τὴν ἐνέργειαν τοῦ δημιουργοῦ Θεοῦ· ἥ τε γὰρ ὕλη τῶν τεχνητῶν ἐκ τῆς φύσεως ἐστίν, καὶ τὰ φυσικὰ διὰ δημιουργίας ἐκ τοῦ Θεοῦ. Ἀλλὰ τὰ τεχνητὰ ἐν τῷ εἶναι συντηροῦνται τῇ δυνάμει τῶν φυσικῶν, ὡς ἡ οἰκία τῇ τῶν λίθων στερρότητι· καὶ τὰ φυσικὰ ἄρα τῇ τοῦ Θεοῦ μόνον δυνάμει, ἥτις δὴ δύναμις, εἰ τῶν κτιστῶν καὶ ὀφειλόντων ἄρχεσθαι ἀπεχώρησέ ποτε, καὶ τὰ εἴδη ἂν αὐτῶν ὁμοίως ἐπαύσατο, πᾶσά
f. 91 τε ἂν ἡ φύσις διεσπάσθη. Οὐ γὰρ ὥσπερ τοῦ οἰ | κοδόμου παυσαμένου ἢ διαστάντος μένει τὸ ἔργον, οὕτω δὴ καὶ ὁ κόσμος ἐν ῥιπῇ ὀφθαλμοῦ δυνήσεται στῆναι, εἰ τὴν κυβέρνησιν ὁ Θεὸς ἀφέλοιτο, ἀλλὰ μᾶλλον ὥσπερ τὸ φῶς οὐ μένει ἐν τῷ διαφανεῖ, ὑποχωροῦντος τοῦ φωτίζοντος, οὕτως οὐδὲν ἐν τῷ εἶναι δύναται μένειν, παυσαμένης τῆς θείας ἐνεργείας· οὕτω

10 Ps. 46, 8 13 Iob, 9, 7

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γὰρ πάντα τὰ τῇ φύσει τοῦ ὑψηλοτέρου γένους προσήκοντα οὐ μένει μετὰ τὴν ἐνέργειαν τοῦ ποιοῦντος. Τὸ δὲ εἶναι οὐκ ἔστι φύσις ἢ οὐσία τινὸς πράγματος κτιστοῦ, ἀλλὰ τοῦ Θεοῦ μόνου· ὅθεν τοῖς οὖσι πᾶσι τὸ εἶναι ἐποχετεύεται, καὶ διὰ τοῦτο, τῆς θείας ἐνεργείας πεπαυμένης, οὐδὲν αὐτοῦ δύναται μετέχειν, οὔτε εἶναι λοιπόν.

LXVI. — Ὅτι οὐδὲν αἴτιον τοῦ εἶναι τινί, εἰ μὴ καθόσον καὶ αὐτὸ τῇ θείᾳ ποιεῖ δυνάμει.

Ἐντεῦθεν φανερόν, ὅτι πάντα τὰ δευτέρως ποιοῦντα οὐ διδόασι τὸ εἶναι εἰ μὴ καθόσον εἰσὶν ὄντα ἐνεργείᾳ· ὁ δὲ Θεὸς τῇ ἑαυτοῦ προνοίᾳ συντηρεῖ αὐτὰ ἐν τῷ εἶναι· ἐκ τῆς θείας ἄρα δυνάμεώς ἐστιν, ὅταν τι αἴτιον τοῦ εἶναι τινὶ γίνηται.

Ἔτι, ἡ τελειότης τῆς τοῦ δευτέρως ποιοῦντος δυνάμεως ἐκ τῆς τοῦ πρώτως ποιοῦντος δυνάμεως ἐστίν· τὸ δὲ ἐν πᾶσι τοῖς ποιοῦσι τελειότατον τὸ εἶναί ἐστιν ἐνεργείᾳ· αὐτὸ τοίνυν τὰ δευτέρως ποιοῦντα ποιοῦσι τῇ τοῦ πρώτως ποιοῦντος δυνάμει.

Ἔτι, τὸ εἶναι παντὸς ὄντος ἴδιόν ἐστι τοῦ Θεοῦ ἀποτέλεσμα· αὐτὸς γάρ ἐστι τὸ εἶναι κατὰ τὴν οὐσίαν αὐτοῦ, τὰ δὲ ἄλλα κατὰ μετοχὴν εἰσιν ὄντα. Πάντα ἄρα τὰ προάγοντά τι ἕτερον εἰς τὸ εἶναι ποιοῦσι τοῦτο καθόσον τῇ τοῦ Θεοῦ δυνάμει ποιοῦσιν.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ Γραφῇ πανταχοῦ λεγόμενον περὶ τοῦ τὸν Θεὸν πάντα ποιεῖν.

LXVII. — Ὅτι ὁ Θεὸς αἴτιος τοῦ ἐνεργεῖν τοῖς ἐνεργοῦσι πᾶσι.

Πᾶν γὰρ τὸ ἐνεργοῦν αἴτιόν ἐστι τοῦ εἶναι τρόπον τινὰ ἢ τοῦ οὐσιώδους εἶναι, ἢ τοῦ κατὰ συμβεβηκός· οὐδὲν δὲ ἐδείχθη αἴτιον τοῦ εἶναι τινί, εἰ μὴ καθόσον τῇ θείᾳ δυνάμει ποιεῖ. Πᾶν ἄρα ἐνεργοῦν διὰ τῆς τοῦ Θεοῦ δυνάμεως ἐνεργεῖ.

Ἔτι, τὸ προσάγον εἰς τὸ ποιεῖν τὴν δραστικὴν δύναμιν αἴτιόν ἐστι τῆς ἐνεργείας ἐκείνης, ὥσπερ ὁ ὀψοποιὸς τῆς διὰ τοῦ πυρὸς ὀψοποιήσεως αἴτιος. Ἀλλὰ πᾶσα προσαγωγὴ δυνάμεως πρὸς ἐνέργειαν πρώτως ἐστὶν ἀπὸ τοῦ Θεοῦ· προσάγονται γὰρ αἱ δραστικαὶ δυνάμεις ταῖς ἰδίαις ἐνεργείαις διά τινος κινήσεως | τοῦ σώματος ἢ τῆς ψυχῆς· ὁ δὲ Θεός ἐστι f. 91v
πρώτη ἀρχὴ τῆς κινήσεως ἑκατέρας· ἐδείχθη γὰρ πρώτως εἶναι κινοῦν ἀκίνητον. Ἀλλὰ μὴν καὶ πᾶσα βουλήσεως κίνησις, ᾗ τινες δυνάμεις εἰς τὸ ἐνεργεῖν ἄγονται, εἰς τὸν Θεὸν ἀνάγεται ὥσπερ εἰς πρῶτον ἐφετὸν ἢ θελητικόν. Πᾶσαν τοίνυν ἐνέργειαν τῷ Θεῷ ἀποδίδοσθαι δεῖ ὡς πρώτως ποιοῦντι, ὥστε παυομένης τῆς θείας ἐπιρροίας, πάντα ἂν παύσασθαι ἐνεργοῦντα. Ὡς γὰρ ἐν τῷ εἶναι συντηρεῖ αὐτὰ συνεχῶς, οὕτω καὶ τῶν ἐνεργητικῶν δυνάμεων αὐτοῖς αἴτιος ἀεὶ γίνεται.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἐντεῦθέν ἐστι τὸ τοῦ Ἡσαΐου· „Πάντα τὰ ἔργα ἡμῶν ἐνήργησας ἐν ἡμῖν, Κύριε“· καὶ ἐν τῷ κατὰ Ἰωάννην· „Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν“· καὶ ἐν τῇ πρὸς Φιλιππησίους· „Ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἡμῖν καὶ τὸ θέλειν καὶ τελειοῦν ὑπὲρ τῆς ἀγαθῆς θελήσεως“· καὶ τούτῳ τῷ λόγῳ συνεχῶς ἐν ταῖς γραφαῖς τὰ τῆς φύσεως ἀποτελέσματα τῇ θείᾳ ἀποδίδονται ἐνεργείᾳ, ὡς τοῦ Θεοῦ ἐνεργοῦντος ἐν παντὶ ἐνεργοῦντι διὰ φύσεως ἢ θελήσεως, ὡς ἐν τῷ Ἰώβ· „Οὐχ ὥσπερ γάλα με ἤμελξας, καὶ ὥσπερ τυρὸν ἔτηξας“; καὶ ἐν τοῖς Ψαλμοῖς· „Ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος, καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ· χάλαζαι καὶ ἄνθρακες πυρός“.

## LXVIII. — Ὅτι πανταχοῦ ἐστιν ὁ Θεός.

Τὸ γὰρ κινοῦν καὶ κινούμενον ὁμοῦ εἶναι ἀνάγκη, ὡς ἐν ἑβδόμῳ τῶν φυσικῶν· ὁ δὲ Θεὸς πάντα κινεῖ πρὸς τὰς ἰδίας ἐνεργείας, ὡς ἐδείχθη. Ἔστιν ἄρα ἐν πᾶσι τοῖς πράγμασιν.

Ἔτι, ὥσπερ εἴ τι σῶμα ἄπειρον ἦν, ἔχον διάστατον τὴν ποσότητα, ἀνάγκη ἂν ἦν αὐτὸ πανταχοῦ εἶναι κατ᾽ ἐπαφὴν τῆς ἐν τῇ διαστάσει ποσότητος, οὕτως εἴ τι ἐστὶν ἀσώματον δύναμιν ἄπειρον ἔχον, ἀνάγκη εἶναι πανταχοῦ κατ᾽ ἐπαφὴν δυνάμεως.

Ἔτι, ὡς τὴν μερικὴν αἰτίαν ἀνάγκη παρεῖναι τῷ μερικῷ ἰδίῳ ἀποτελέσματι, οὕτω καὶ τὸν Θεὸν ἀνάγκη ὅλου τοῦ εἶναι ὄντα αἰτίαν παρεῖναι ὅπου καὶ τὸ εἶναι ἐστίν.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Ἱερεμίᾳ· „Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος“· καὶ ἐν τοῖς Ψαλμοῖς· „Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει“. Καὶ αὖθις· „Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον“. Λέγεται δὲ μάλιστα ἐν τῷ οὐρανῷ εἶναι καὶ θρόνος αὐτοῦ ὁ οὐρανός, διότι πασῶν τῶν σωματικῶν κινήσεων
f. 92 ἡ ἀρχή, τοῦ Θεοῦ | κινοῦντος, ἀπό τινος ὡρισμένου μέρους ἄρχεται κατὰ τὴν τῆς φύσεως τάξιν. Οὐχ οὕτω δέ ἐστι πανταχοῦ ὡς τοῖς διαστήμασι τῶν τόπων συνδιαιρούμενος, καὶ μέρει μὲν ἑνὶ ἐνταῦθα ὤν, ἄλλῳ δὲ μέρει ἀλλαχοῦ· ἁπλούστατος γὰρ ὤν, ἀμερής ἐστιν. Ἀλλ᾽ οὐδ᾽ αὖθις ἁπλοῦς, ὥσπερ τὸ σημεῖον, ἔσχατον ὂν τοῦ συνεχοῦς, καὶ διὰ τοῦτο ἀφωρισμένην ἔχον θέσιν ἐν τῷ συνεχεῖ· ἐκεῖνο γὰρ ἐν ἑνὶ μόνον τόπῳ ἀδιαιρέτῳ δύναται εἶναι· ὁ δὲ Θεὸς ἀδιαίρετός ἐστιν, ὡς ἔξω πάντῃ τοῦ γένους τοῦ συνεχοῦς ὤν· ὅθεν οὐχ ὁρίζεται τόπῳ μεγάλῳ ἢ μικρῷ κατὰ τὴν αὐτοῦ φύσιν, ὥσπερ δέον αὐτὸν εἶναι ἔν τινι τόπῳ· αὐτὸς γὰρ ἦν ἐξ ἀϊδίου πρὸ παντὸς τόπου. Ἀλλὰ τῇ ἀπειρίᾳ τῆς ἑαυτοῦ δυνάμεως ἅπτεται τῶν ἐν τόπῳ πάντων, καθόλου ὢν τοῦ εἶναι αἰτία. Οὕτω τοίνυν ὅλος ἐστὶ παν-

---

1 Is. 26, 12 2 Ioh. 15, 5 3 Phil. 2, 13 7 Iob, 10 8 Ps. 17, 4
22 Ier. 23, 24 23 Ps. 108, 8 24 Is. 66, 1

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ταχοῦ, καὶ τῇ ἁπλῇ αὐτοῦ δυνάμει πάντων ἐφάπτεται. Οὐ δεῖ δὲ νομίζειν, ὡς οὕτως ἐστὶν ἐν τοῖς πράγμασιν ὡς αὐτοῖς μεμιγμένος. οὔτε γὰρ ὕλη οὐδενός ἐστιν, οὔτε εἶδος, ὡς δέδεικται, ἀλλ' ἔστιν ἐν πᾶσιν ὡς αἰτία ποιητική.

## LXIX. — Περὶ τῆς δόξης τῶν ἀναιρουμένων τὰς ἰδίας ἐνεργείας τῶν φυσικῶν.

Ἐκ δὲ τῶν προειρημένων τινὲς ἀφορμὴν ἔλαβον πλάνης, νομίζοντες μηδὲν κτίσμα ἐνέργειαν ἔχειν τινὰ ἐν τῇ παραγωγῇ τῶν φυσικῶν ἀποτελεσμάτων, οὕτω δηλονότι, ὥστε μὴ θερμαίνειν τὸ πῦρ, ἀλλὰ τὸν Θεὸν αἴτιον γίνεσθαι θέρμης τῇ τοῦ πυρὸς παρουσίᾳ· ὁμοίως δὲ κἂν τοῖς ἄλλοις τοῖς φυσικοῖς, ἣν δὴ πλάνην καὶ λόγοις ἐπεχείρησαν ἀποδεῖξαι, οὓς ῥᾴδιον ἐξελέγχειν. Ταύτῃ δὲ τῇ θέσει πολλὰ ἄτοπα ἕπεται· αὐτίκα γάρ, εἰ ὁ Θεὸς μόνος ἐν πᾶσιν ἐνήργει, διὰ δὲ τοῦ ἐν διαφόροις πράγμασιν ἐνεργεῖν αὐτὸς οὐ ποικίλλεται, ἡ διαφορότης τῶν ἀποτελεσμάτων οὐκ ἂν ἦν, ἥτις νῦν ἐκ τῆς τῶν πραγμάτων διαφορᾶς ἀκολουθεῖ ἐν οἷς ἐνεργεῖ διὰ τὸ αὐτὰ ἐνεργοῦντα εἶναι· καὶ οὕτως τῇ τοῦ θερμοῦ θέσει οὐδὲν μᾶλλον θέρμανσις ἢ ψῦξις ἠκολούθησεν ἄν, καὶ τῷ τοῦ ἀνθρώπου σπέρματι οὐδὲν μᾶλλον ἄνθρωπος ἢ ἄλλο τι ζῷον, ἃ καὶ τῇ αἰσθήσει ψευδῆ. Οὐκ ἄρα τὸν αἰτιατὸν τῶν ἐνταῦθα ἀποτελεσμάτων οὕτω χρὴ τῇ θείᾳ δυνάμει ἀποδιδόναι ὥστ' ἂν τὸ τοῦτο ἐξ αὐτῶν ἀφαιρεῖν.

Ἔτι, εἰ ὁ Θεὸς μόνος (ἀμέσως) πάντα ἀμέσως ἐνήργει τὰ ὑπὸ κάτω ἀποτελέσματα, εἰκῇ ἂν ἐδέδοτο | ταῖς ὑψηλοτέραις φύσεσιν ἡ τοῦ προάγειν f. 92v
ἀφ' ἑαυτῶν δύναμις, καὶ πᾶσι τοῖς φύσει ποιοῦσιν.

Ἔτι, ἀδύνατον ἂν ἦν τὰς τῶν κτισμάτων φύσεις γινώσκεσθαι ὑφ' ἡμῶν, καὶ πᾶσα ἡ ἡμετέρα γνῶσις καὶ ἡ φυσικὴ ἐπιστήμη ἀνῃρεῖτο ἄν, ἐν ᾗ μάλιστα αἱ ἀποδείξεις διὰ τῶν ἀποτελεσμάτων λαμβάνονται.

Ἔτι, καὶ δι' ἐπαγωγῆς φαίνεται, ὅτι τὸ ποιοῦν ὅμοιον ἑαυτῷ ποιεῖ, καὶ πᾶν ἐξ ὁμοίου γίνεται διὰ τὸ πᾶσαν γένεσιν ἐξ ἄλλου τε εἶναι, ἤγουν τῆς ὕλης, καὶ πρὸς ἄλλο, οἷον τὸ εἶδος· καὶ διὰ τοῦτο ἀνάγκη καὶ τὸ γεννώμενον, οὕτω καὶ τὸ γεννῶν, συγκείμενον ἐξ ὕλης εἶναι καὶ εἴδους.

Ἔτι, τὸ παρέχον τινὶ ἀρχοειδές τι δίδωσιν αὐτῷ καὶ πάντα τὰ ἐκείνῳ ἑπόμενα, ὥσπερ ἡ τῷ στοιχειώδει σώματι τὴν βαρύτητα διδοῦσα αἰτία δίδωσιν αὐτῷ καὶ τὴν κάτω κίνησιν· τῷ δὲ εἶναί τι ἐνεργείᾳ ἕπεται τὸ ποιεῖν τι ἄλλο ἐνεργείᾳ· διὸ καὶ ὁ Θεὸς ἐνέργεια ὢν καθαρά, πρώτη τοῦ εἶναι πᾶσιν αἰτία ἐστίν. Εἰ οὖν τοῖς ἄλλοις ὅσον πρὸς τὸ εἶναι τῆς αὐτοῦ ὁμοιότητος ἐκοινώνησεν, εἰς τὸ εἶναι παραγαγών, ἑπόμενόν ἐστι κοινωνῆσαι αὐτοῖς τῆς ἑαυτοῦ ὁμοιότητος καὶ κατὰ τὸ ποιεῖν, ὥστε καὶ τὰ κτίσματα

22 *ἀμέσως* répété par distraction A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἰδίας ἔχειν ἐνεργείας, τοὺς δὲ λόγους τῶν περὶ τοῦτο πεπλανημένων καὶ τὰς λύσεις αὐτῶν διὰ συντομίαν παρήκαμεν.

## LXX. — Ὅπως τὸ αὐτὸ ἀποτέλεσμα ἔκ τε τοῦ Θεοῦ καὶ τοῦ κατὰ φύσιν ποιοῦντος ἐστίν.

Τισὶ δὲ δυσχερὲς νοῆσαι δοκεῖ τὰ φυσικὰ ἀποτελέσματα τῷ τε Θεῷ καὶ τοῖς κατὰ φύσιν ποιοῦσιν ἀποδίδοσθαι· μία γὰρ ἐνέργεια, φασίν, ἐκ δυοῖν ἐνεργούντων οὐ δοκεῖ δύνασθαι προϊέναι. Εἰ οὖν ἡ ἐνέργεια δι' ἧς τὸ φυσικὸν παράγεται ἀποτέλεσμα ἐκ τοῦ φυσικοῦ προάγεται σώματος, οὐκ ἄρα πρόεισιν ἀπὸ τοῦ Θεοῦ.

Ἔτι, τὸ δι' ἑνός, φασίν, ἱκανῶς δυνάμενον γίνεσθαι, περισσόν ἐστι γίνεσθαι διὰ πολλῶν· καὶ ἡ φύσις γὰρ ὃ δι' ἑνὸς ὀργάνου δύναται οὐ ποιεῖ διὰ πλειόνων. Εἰ τοίνυν ἡ θεία δύναμις ἀρκεῖ πρὸς τὸ παράγειν τὰ φυσικά, τί δεῖ τῶν φυσικῶν δυνάμεων; Ὁμοίως καὶ τὸ ἀνάπαλιν.

Ἀλλ' ἰστέον ὅτι, ὥσπερ οὐκ ἄτοπον ἓν καὶ τὸ αὐτὸ ἀποτέλεσμα ἔκ τινος ποιοῦντος καὶ τῆς δυνάμεως ἐκείνου παράγεσθαι, οὕτως οὐκ ἔστιν ἄτοπον ἓν ἀποτέλεσμα ἔκ τε τοῦ Θεοῦ παράγεσθαι καὶ τοῦ κάτω ποιοῦντος, ἀμέσως ἐξ ἑκατέρου, εἰ καὶ ἕτερον καὶ ἕτερον τρόπον. Τὸ μὲν γὰρ
f. 93 ἔσχατον ποιητικὸν | ἀμέσως ποιεῖ, καὶ ὡς ποιοῦν, καὶ ὡς τοιᾷδε δυνάμει ποιοῦν· ἡ δὲ πρώτη αἰτία ἀμέσως τὸ αὐτὸ ποιεῖ, οὐχ ὡς ποιοῦν, ἀλλ' ὡς ἐκείνῃ τῇ δυνάμει ποιοῦν, ἧς ἤρτηται ἡ δύναμις τοῦ κάτω ποιοῦντος ἐν τῷ ποιεῖν. Διὸ ἡ τοῦ κάτω ποιοῦντος ἐνέργεια οὐκ ἐκ τῆς ἰδίας αὐτοῦ μόνον ἐστὶ δυνάμεως, ἀλλὰ καὶ ἐκ τῆς τῶν ἀνωτέρων ποιούντων, καὶ ἔτι ἐκ τοῦ πρωτίστου ποιοῦντος. Ἀλλὰ καὶ τὸ ἐκ τοῦ Θεοῦ καὶ τῶν ἄλλων φυσικῶν αἰτίων παράγεσθαι τὸ αὐτὸ οὐ τῷ τὴν θείαν δύναμιν μὴ ἀρκεῖν ἐστιν, ἀλλ' ὅτι ἠθέλησε διὰ τὴν ἀπειρίαν τῆς ἀγαθότητος καὶ ἄλλοις τῆς ἑαυτοῦ κοινωνῆσαι ὁμοιότητος, οὐ κατὰ τὸ εἶναι μόνον, ἀλλὰ καὶ κατὰ τὸ αἴτια καὶ ἄλλων γίνεσθαι δύνασθαι. Φανερὸν δὲ καὶ ὅτι τὸ ἀποτέλεσμα ὅλον ἐκ τοῦ Θεοῦ καὶ ὅλον ἐκ τῆς φυσικῆς αἰτίας τὸ αὐτὸ γίνεται, κατὰ διάφορον μέντοι τρόπον, ὡς τὸ αὐτὸ ἀποτέλεσμα ἀποδίδοται τῷ τε ὀργάνῳ καὶ τῷ πρώτως ποιοῦντι καὶ ὅλον.

## LXXI. — Ὅτι ἡ θεία πρόνοια οὐκ ἀναιρεῖ τὸ κακόν.

Ἡ γὰρ θεία κυβέρνησις τὴν τῶν δευτέρων αἰτίων ἐνέργειαν οὐ κωλύει, ὧν διὰ τὴν ἀσθένειαν στέρησίς τις ἀκολουθεῖ ἐν τῷ ἀποτελέσματι, ὥσπερ ἐν τῷ τεχνητῷ διὰ τὴν τοῦ ὀργάνου ἀνεπιτηδειότητος στέρησις συμβαίνει, καίτοι τοῦ τεχνίτου τελείως ἔχοντος κατὰ τὴν τέχνην ἐκείνην· καὶ ὥσπερ χωλαίνει τις οὐ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως τῆς κινητικῆς, ἀλλὰ διὰ τὴν τῆς κνήμης κυρτότητα.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, τῆς τελειότητος τῆς ἀγαθότητος ἐν τοῖς κτίσμασι καὶ ἡ τάξις ἐστίν, τὸ εἶναι δηλαδὴ ἄλλα ἄλλων βελτίω, ἵνα ὦσι πάντες οἱ δυνατοὶ τῆς ἀγαθότητος τρόποι. Ἀλλὰ βαθμὸς ὑψηλοτέρας ἀγαθότητος, τὸ μὴ δύνασθαί τι ἐκπίπτειν τῆς ἑαυτοῦ ἀγαθότητος, ταπεινοτέρας δὲ τὸ δύνασθαι τοῦτο. Ἑκάτερον τοίνυν βαθμὸν τῆς τελειότητος τοῦ παντὸς ἀπαιτούσης, καὶ ἑκάτερον ὁ Θεὸς φυλάττει αὐτῷ. Οὐκ ἄρα ἀναιρεῖ τὴν τοῦ δύνασθαι μεταβάλλειν ἀπὸ τοῦ ἀγαθοῦ δύναμιν· ταύτῃ δὲ τῇ μεταβολῇ ἕπεται τὸ κακόν, ὅτι καὶ εἰς τὸ κακὸν μεταβάλλει, καὶ ἡ μεταβολὴ αὐτὴ κακόν ἐστιν ἡ τοιαύτη. Καὶ ἡ ἀπὸ τοῦ χείρονος πρὸς τὸ ἀγαθόν, ἀγαθή.

Ἔτι, εἰ τὸ τοῦ πυρὸς τέλος ἀναιρεθείη, ὅπερ ἐστὶ τὸ γεννᾶν ὅμοιον ἑαυτῷ, ᾧ ἕπεται κακόν τι, ἡ τῶν καυστῶν δηλονότι φθορά, ἀναιρεθείη ἄν τι καὶ ἀγαθόν, ἡ τοῦ πυρὸς γένεσις καὶ ἡ κατὰ τὸ εἶδος τούτου συντήρησις.

Ἔτι, καὶ πολλὰ | τῶν ὁμολογουμένως ἀγαθῶν οὐκ ἂν εἶχε τόπον, μὴ f. 93v ὄντων τῶν κακῶν ἐν τοῖς πράγμασιν, οἷον ἡ τῶν δικαίων ὑπομονή, μὴ οὔσης τῆς τῶν διωκτῶν ἐπηρείας, καὶ ἡ τιμωρία τῆς δίκης, μὴ ὄντων τῶν ἁμαρτημάτων, καὶ ἡ ἑνὸς γένεσις οὐκ ἂν ἦν, μὴ τῆς ἑτέρου φθορᾶς οὔσης. Καὶ οὕτως εἰ τὸ κακὸν ἀνῃρεῖτο παντάπασι διὰ τῆς προνοίας, ἠλάττωτο ἂν τὸ τῶν ἀγαθῶν πλῆθος, ὅπερ οὐκ ἔδει. Καὶ νικᾶν ἔδει τὸ ἀγαθὸν ἐν τῇ ἀγαθότητι ἢ τὸ κακὸν ἐν τῇ πονηρίᾳ.

Ἔτι, ἠλάττωτο ἂν ἡ ἀνθρωπίνη γνῶσις· τὸ γὰρ ἀγαθὸν ἐκ τῆς πρὸς τὸ κακὸν παραθέσεως μᾶλλον γινώσκεται, καὶ ἡ ἐπιθυμία τῶν ἀγαθῶν, ὧν πολλάκις ἐπιθυμοῦμεν σφοδρότερον, τῶν χειρόνων παρεισφθειρομένων, ὥσπερ τὸ ἀγαθὸν τῆς ὑγιείας οἱ νενοσηκότες μᾶλλον καὶ ἴσασι καὶ ἐρῶσιν. Οὐκ ἄρα τῇ θείᾳ προνοίᾳ προσῆκεν ἀναιρεῖν ἐκ τῶν πραγμάτων παντελῶς τὰ κακά. Διὸ καὶ ἐν τῷ Ἡσαΐᾳ λέγεται· „Ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά“· καὶ ἐν τῷ Ἀμώς· „Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησεν.“

## LXXII. — Ὅτι οὐκ ἐκβάλλει τὸ συμβεβηκὸς ἀπὸ τῶν πραγμάτων.

Ὡσαύτως οὐδὲ τὰ συμβεβηκότα ἡ θεία πρόνοια καθόλου ἐκ τῶν πραγμάτων ἀναιρεῖ, οὔτ᾽ ἀνάγκην τοῖς πράγμασιν ἐπιτίθησιν· ἡ γὰρ τῆς προνοίας ἐνέργεια οὐκ ἀναιρεῖ τὰς δευτέρας αἰτίας, δι᾽ ὧν μᾶλλον ἀναπληροῦται ὡς τῇ θείᾳ δυνάμει ἐνεργουσῶν. Ἐκ δὲ τῶν προσεχῶν αἰτίων τὰ μὲν ἀναγκαῖα, τὰ δὲ συμβεβηκότα ἀποτελεῖται, ἅτε τῶν προσεχῶν αἰτίων ἐν πολλοῖς καὶ πολλῶν δυναμένων ἐκλείπειν.

Ἔτι, ἡ τοῦ ὄντος εἰς τὸ ἀναγκαῖον καὶ τὸ συμβεβηκὸς διαίρεσις

---

26 Is. 45, 7 27 Am. 3, 6



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006